UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Dionysio Presbytero. 232.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

Zoſimo Maroni. 230.

Aiunt nonnulli, ne Metrodorum quidẽ Epicureum ita per res ipſas Epicuri, qui ab omnibus ſapientibus abdicatus & proſcriptus eſt, dogmata confirmaſſe, vt miſera veſtra trinitas confirmat. Quamobrem ſi vera loquuntur, impudicitiæ veſtræ ac laſciuiæ finem imponite. Sin minus, pudicitiæ hærete.

Theodoſio Epiſcopo. 231.

Vereor quidem dicere, ne adulari videar (omnium enim leuiorum vitiorum turpiſſimum eſſe adulationem exiſtimo) dicam tamen à veritate coactus. Nemo, vt opinor, imò vt perſuaſum habeo, eas animi dotes atque virtutes, quæ in te inſunt, verbis vllis conſequi poſſit, ne ſi decem quidem linguas, ac decem ora, parémque linguis animarum numerum habeat.

Dionyſio Presbytero. 232.

Qui, cùm nullum in ſe bonum agnoſcit, verborum modeſtia vtitur, ignoſcẽs, vel agnoſcens potiùs, ac non modeſtus eſt. At qui poſt multas virtutes ſummiſſe de ſe ſentit, is demum propriè eſt, qui modeſtum ſe præbere nouit.

Martiniano. 233.

Corporum amorem, vt qui acris quidẽ ſit, verùm celeriter extinguatur, ob eam cauſam pictores cum facibus & pennis depingunt: quoniam nunc libidinem inflammat, nunc rurſum ob ſaturitatem auolat. At pecuniarum amorem nemo vnquam aut fingere, aut ſcribere auſus eſt. Cuius rei hæc fortaſſe cauſa eſt, quia ne amor quidẽ eſt, ſed inſanabilis furor. Aut hæc fortaſſe, quia nec fingi nec deſcribi poteſt. Neque enim quinquaginta duntaxat capita habet, vt fabuloſa illa hydra, per quæ ad inexplebilem ventrem cibos tranſmiſerat, nec inſaturabilis illius por-

Ζωσίμῳ, Μάρωνι. σλ.

Φασί τινες, ὡς οὐδὲ Μητρόδωρος ὁ Ἐπικούρειος, οὕτως διὰ πραγμάτων ἐβεβαίωσεν Ἐπικούρου τοῦ παρὰ πάντων τῶν σοφῶν ἀποκηρυχθέντος τὰ δόγματα, ὡς ἡ ἀθλία ὑμῶν τριττύς. εἰ τοίνυν ἀληθεύουσι, παύσασθε τῆς λαγνείας· εἰ δὲ μὴ, ἔχεσθε τῆς σωφροσύνης.

Θεοδοσίῳ ἐπισκόπῳ. σλα.

Ὀκνῶ μὲν εἰπεῖν, διὰ τὸ μὴ δόξαι κολακεύειν· πάντων γὰρ τῶν λεπτῶν παθῶν τὴν κολακείαν αἰσχροτέραν ἡγοῦμαι· φράσω δὲ, ὑπὸ τῆς ἀληθείας ἀναγκαζόμενος. ὅτι οὐδεὶς, ὡς οἶμαι, μᾶλλον δὲ πέπεισμαι, τῶν σοὶ προσόντων πλεονεκτημάτων ἐφικέσθαι δυνηθείη, οὐδ' εἰ δέκα μὲν γλώττας, δέκα δὲ στόματα ἔχοι, καὶ ψυχὰς ταῖς γλώσσαις ἰσαρίθμους.

Διονυσίῳ πρεσβυτέρῳ. σλβ.

Ὁ μὲν μηδὲν ἑαυτῷ, ὦ σοφὲ, συνειδὼς ἀγαθὸν, μετριολογῶν, συγγνώμων, μᾶλλον δὲ ἐπιγνώμων, οὐ ταπεινόφρων ἐστίν. ὁ δὲ μετὰ πολλὰ κατορθώματα ταπεινοφρονῶν, οὗτός ἐστι κυρίως, ὁ μετριάζειν εἰδώς.

Μαρτινιανῷ. σλγ.

Τὸν μὲν τῶν σωμάτων ἔρωτα, ἅτε δριμὺν μὲν ὄντα, ταχέως δὲ σβεννύμενον, διὰ τοῦτο οἱ ζωγράφοι σὺν λαμπάσι καὶ πτέρυξι γράφουσιν, ὅτι ποτὲ μὲν ὑπεκκαίει τὰ πάθη καπνίζων ποτὲ δὲ διὰ κόρον ἀφίπταται. τὸν δὲ τῶν χρημάτων οὐδεὶς οὔτε πλάσαι, οὔτε γράψαι ἐτόλμησε. τάχα μὲν ἐπειδὴ οὐδὲ ἔρως ἐστὶν, ἀλλὰ μανία ἀνήκεστος. τάχα δὲ ἐπειδὴ οὔτε πλασθῆναι, ἀλλ' οὔτε γραφῆναι αὐτὸν οἷόν τε. οὔτε γὰρ πεντήκοντα μόνον ἔχει κεφαλὰς, κατὰ τὴν μυθευομένην ὕδραν, δι' ὧν τὰς

ἀπλη-